# Praefatio in epistulas Theodori Lascaris

## Τοῦ μεγάλου λογοθέτου κυροῦ Γεωργίου τοῦ Ἀκροπολίτου.

Ἂν οὐρανοῦ τὸν γῦρον ἡ δέρρις φέρῃ Καὶ γῆς τὸ κύτος ὁ στενὸς γράφῃ τύπος, Καὶ γνώσεως ἄβυσσον οὐ μετρουμένην Ἡ βίβλος ἥδε συμπερικλείειν φθάνει, Ἄπειρον ἀόριστον ἄφθονον χύσιν Σοφῶν ναμάτων ἐκ φλεβῶν τεραστίων. Ὡς ἀστέρας μὲν λευκοσυνθέτους λόγους Εἰς πλῆθος ἀμέτρητον ἐκπεπτωκότας Καὶ παμφαεῖς ἔσχηκε τοῖς θεωμένοις, Ἔσωθεν αὐγάζοντας ἀνθρώπων φύσιν Καὶ καταλαμπρύνοντας αὐτῶν τὰς φρένας. Ὡς ποικιλόχρουν αὖθις ἀνθέων θέαν Τὸ ποικίλον σύνταγμα τῶν γεγραμμένων Πάνλαμπρον ἔνδον ἐγκαθειργνύει βίβλος, Ὡς ὄστρεον μάργαρον, ὡς κάλυξ ῥόδον, Ὡς ἁλιθρέμμων κόχλος ἄνθος πορφύρας, Ἐπιστολὰς εἰς κάλλος ἐξειργασμένας, Ἃ, καὶ λυσιτέλημα τῶν λογεμπόρων, Θεοδώρου Λάσκαρι τοῦ βασιλέως Ἄνακτος υἱοῦ παγκλεοῦς Ἰωάννου, Οὗ θρύλλος ἐξέδραμεν εἰς πᾶσαν χθόνα, Οὗ τὸ πρὸς ὅπλα καὶ πρὸς ἱππηλασίαν, Χεῖρα κραταίαν, εὐφυᾶ τόξου τάσιν, Καὶ πᾶσαν ἄλλην στρατιώτιδα τέχνην Καὶ πᾶσαν ἄλλην ψυχικὴν εὐανδρίαν Ἄλλων λόγων πέφυκε καὶ σπουδασμάτων· Νυνὶ δὲ γραφαὶ καὶ λόγων εὐκοσμία, Ἐπιστολῶν πόνημα συντεταγμένον. Μακροὺς μὲν ἄλλους οὗτος ἐκφέρει λόγους, Τοὺς μὲν πρὸς ἐξέτασιν οἷς φύσις τόπος, Τοὺς δὲ πρὸς ἀνάπτυξιν οἷς κρείττων ὅρος, Ἐγκωμίων αὐχοῦντας ἄλλους δ' αὖ ὕλην, Πάντας δὲ σεμνοὺς ὡς ὑπεξῃρημένους Νοήμασι σχήμασι λοιπαῖς ἰδέαις, Αἷς λαμπρῶς ἅπας ἀγλαΐζεται λόγος. Τίς δὲ παραπλεύσειεν αὐτῶν τὴν χάριν, Σειρῆνας ὥσπερ τοῦ Λαερτίου γόνος, Καὶ μὴ πρὸς αὐταῖς πυξίσι τῶν γραμμάτων Τὸ σκάφος αὐτοῦ τοῦ νοὸς καθορμίσῃ; Ἐπείπερ οὐκ ὄλεθρον ἀκροωμένων, Ζωὴν δὲ μᾶλλον προξενοῦσιν αἱ βίβλοι Οὔκουν χρόνῳ φθίνουσαν ὡς τῶν σωμάτων. Καὶ ταῦτα μὲν δὴ μακροσυνθέτων πέρι, Ἀλλ' ἐνθαδὶ χάρις τις ἄλλη γραμμάτων Ἐπιστολιμαία τε πρὸς λόγων φίλους, Μουσῶν Ἑλικὼν καὶ Πιερία νέα, Μέλος λιγυρὸν καὶ χορευμάτων κρότος. Ὠιδῆς τὸ τερπνὸν ποῖον ἐξείποι στόμα; Ἠχῆς τὸ σεμνὸν ποῖος ἐκφράσοι λόγος; Ὁ θιασώτης Βάκχος εὐθὺς εὑρέθη Ἐπεμφορηθεὶς νέκταρος, θείου πότου, Ὡς ἐκ πόλου ῥέοντος αὐτῆς τῆς βίβλου. Τί δῆτα μακρὸν ἀποτείνω τὸν λόγον Καὶ πρὸς πυλῶσι κατέχω τοῦ θαλάμου Τὴν λίχνον ἀκρόασιν, ἣ σπεύδει δῦναι, Ὡς ζημιοῦσθαι ζημίαν οὐ μετρίαν; Εἴσελθε τάχος τάχος ἔνδοθεν, ξένε, Κατατρύφησον τῶν σοφῶν νοημάτων, Καὶ πρὸς κόρον πλήσθητι καὶ τῶν σχημάτων, Μὴ φράσεως ἥδυσμά τι παραδράμῃς· Γενήσεται γὰρ ὡς γλυκάζον σοι μέλι. Πάντων κατάκρως ἐμφοροῦ τοῦ βιβλίου Καὶ τῶν λόγων θαύμαζε τὴν πρώτην βρύσιν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.